# ΙΟΥΔΑ

*Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ* 1 Mt 13,55.
*Ἰακώβου, τοῖς ἐν θεῷ πατρὶ ἠγαπημένοις καὶ*
*Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς. ἔλεος ὑμῖν* 2
*καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.*
*Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν* 3 1 T 1,18.
*ὑμῖν περὶ τῆς κοινῆς ἡμῶν σωτηρίας ἀνάγκην*
*ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ*
*ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. παρεισέδυ-* 4 G 2,4.
*σαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμ-*
*μένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ θεοῦ*
*ἡμῶν χάριτα μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν*
*μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν*
*ἀρνούμενοι. Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι,* 5 Nu 14,35. 1 K 10,5.
*εἰδότας ἅπαξ πάντα, ὅτι κύριος λαὸν ἐκ γῆς Αἰ-*
*γύπτου σώσας τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας*
*ἀπώλεσεν, ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν* 6 Gn 6. J 8,44.
*ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκη-*
*τήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις*
*ὑπὸ ζόφον τετήρηκεν· ὡς Σόδομα καὶ Γόμορρα* 7 Gn 19,4–25.
*καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τρόπον*

---

*1* **h**[s] *fort εν θεω pro θεω et Ιησου pro εν Ιησου* *3* TW *σωτηριας,* *4* HW *παρεισεδυησαν* | W *κριμα ασεβεις,* *5 ειδοτας :* W+ *υμας* | *κυριος :* h([s]) *Ιησους it ο θεος* (*fort* pro *ὁ*) *6 δεσμοις αϊδιοις :* h[r]+ *αγιων αγγελων*

---

*1 ηγαπ. : ηγιασμενοις* *2 ειρηνη : + εν κυριω* *3 ημων : υμων vl —* *4 δεσπ. : + θεον* *5 παντα : τουτο* *6 τε : δε* | *δεσμοις : + αλυτοις και*

τούτοις ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρ-
κὸς ἑτέρας, πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δί-
8 κην ὑπέχουσαι. Ὁμοίως μέντοι καὶ οὗτοι
ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν, κυριότητα
Dn 12,1. Zch 3,2. 9 δὲ ἀθετοῦσιν, δόξας δὲ βλασφημοῦσιν. Ὁ δὲ
**Μιχαὴλ ὁ ἀρχάγγελος**, ὅτε τῷ διαβόλῳ διακρινό-
μενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ
ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλὰ
10 εἶπεν· **ἐπιτιμήσαι σοι κύριος**. οὗτοι δὲ ὅσα μὲν
οὐκ οἴδασιν βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς
τὰ ἄλογα ζῷα ἐπίστανται, ἐν τούτοις φθείρονται.
Gn 4,8. Nu 31,16. Nu 16.22. 11 οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν,
καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν,
Ez 34,8. 12 καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. Οὗτοί
εἰσιν οἱ ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες συνευω-
χούμενοι, ἀφόβως **ἑαυτοὺς ποιμαίνοντες**, νεφέλαι
ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμεναι, δένδρα φθι-
νοπωρινὰ ἄκαρπα δὶς ἀποθανόντα ἐκριζωθέντα,
Is 57,20. 13 κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν
αἰσχύνας, ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκό-
Gn 5,21. Dt 33,2. Zch 14,5. 14 τους εἰς αἰῶνα τετήρηται. Ἐπροφήτευσεν δὲ καὶ
τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἑνὼχ λέγων· ἰδοὺ
Mt 25,31. 15 **ἦλθεν κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ**, ποιῆσαι
κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι πάντας τοὺς
ἀσεβεῖς περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν
ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν
16 ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. Οὗτοί
εἰσιν γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας
αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ
ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

---

*11* H *Καιν* *12* T *σπιλαδες,* | *, αφοβως* : TW *αφοβως,* *13* h *πλανητες* | h— *ο* | h— *του* *15* *σκληρων* : T+ *λογων* *16* TW *γογγυσται μεμψ.* | H *ωφελιας*

---

*8 κυριοτητας* *12 — οι* | *αγαπ.* : *απαταις vl ευωχιαις* *15 π. τ. ασεβ.* : *πασαν ψυχην* | *—ασεβειας* *16 εαυτων*

*Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων* 17
*τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου*
*ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔλεγον ὑμῖν· ἐπ' ἐσχά-* 18 1 T 4,1. 2 P 3,3.
*του χρόνου ἔσονται ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν*
*ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. Οὗτοί* 19 1 K 2,14.
*εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, πνεῦμα μὴ ἔχον-*
*τες. ὑμεῖς δέ, ἀγαπητοί, ἐποικοδομοῦντες ἑαυ-* 20 Kol 2,7. 1 Th 5,11.
*τοὺς τῇ ἁγιωτάτῃ ὑμῶν πίστει, ἐν πνεύματι ἁγίῳ*
*προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε,* 21
*προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου ἡμῶν Ἰησοῦ*
*Χριστοῦ εἰς ζωὴν αἰώνιον. καὶ οὓς μὲν ἐλέγχετε* 22
*διακρινομένους, οὓς δὲ σώζετε* **ἐκ πυρὸς ἁρπά-** 23 Am 4,11. Zch 3,2 ss. Jc 5,19.20. Ap 3,4.
**ζοντες**, *οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ, μισοῦντες καὶ τὸν*
*ἀπὸ τῆς σαρκὸς* **ἐσπιλωμένον χιτῶνα.**

*Τῷ δὲ δυναμένῳ φυλάξαι ὑμᾶς ἀπταίστους* 24 1 Th 5,23. Ph 1,10.
*καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους*
*ἐν ἀγαλλιάσει, μόνῳ θεῷ σωτῆρι ἡμῶν διὰ Ἰησοῦ* 25 R 16,27. 1 T 1,17.
*Χριστοῦ τοῦ κυρίου ἡμῶν δόξα μεγαλωσύνη κρά-*
*τος καὶ ἐξουσία πρὸ παντὸς τοῦ αἰῶνος καὶ νῦν*
*καὶ εἰς πάντας τοὺς αἰῶνας· ἀμήν.*

---

*18 χρονου* : TW pr *του* *20.21* W *προσευχομενοι εαυτους* *22 ελεγχετε* : HW *ελεατε* (h[s] err. prim., *fort ελεατε* 1° interpol.) *23* HW— *, ους δε* 1° *24.25 , μονω* : W *μονω,*

[Ordo in HRTW : Jc, 1.2 P, 1—3 J, Jd.]

---

*18 υμιν* : + *οτι* | *εν εσχατω* | *ελευσονται* *21 τηρησωμεν* *22 διακρινομενοι* *24 υμας* : *αυτους* | *ασπιλους* | *αμεμπτους* *25 μονω* : + *σοφω* | — *δια ... ημων* | — *προ ... αιωνος* | — *παντας* | *αιωνας* : + *των αιωνων*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/